# 04-08-2021
# ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΗΧΟΣ ΠΛ. Α΄

† Μνήμη τῶν Ἁγίων ἑπτὰ Παίδων τῶν ἐν Ἐφέσῳ.

Ἦχος Πα




Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. (Τὸ ὡς ἄνω)

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.




Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. (Τὸ ὡς ἄνω)

# 04-08-2021 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΗΧΟΣ ΠΛ. Α΄

## Τῇ Τετάρτῃ & Παρασκευῇ
## Ἀπολυτίκιον τοῦ Σταυροῦ
### Ἦχος Πα




Δόξα... (Τὸ ὡς ἄνω)

Καὶ νῦν... Θεοτοκίον

Οἱ τὴν σὴν προστασίαν κεκτημένοι, Ἄχραντε, καὶ ταῖς σαῖς ἱκεσίαις τῶν δεινῶν ἐκλυτρούμενοι, τῷ Σταυρῷ τοῦ Υἱοῦ σου, ἐν παντὶ φρουρούμενοι, κατὰ χρέος σε πάντες, εὐσεβῶς μεγαλύνομεν.


Οι την σην προ στα σι αν κε κτη με νοι Α
χραν τε και ταις σαις ι κε σι ι αις των δει
νω ων εκ λυ τρου με νοι τω σταυ ρω του υι ου
σου εν παν τι φρου ρου με νοι κα τα χρε ος
σε πα αν τες ευ σε βως με γα λυ νο με ε εν

# 04-08-2021 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΗΧΟΣ ΠΛ. Α'

## Μετὰ τὴν α' Στιχολογίαν
## Καθίσματα Σταυρώσιμα
## Ἦχος πλ. α' Πα

Τόπος Κρανίου, Παράδεισος γέγονε· μόνον γὰρ ὡς ἐπάγη τὸ ξύλον τοῦ Σταυροῦ, εὐθὺς ἐβλάστησε τὸν βότρυν τῆς ζωῆς, σὲ Σωτήρ, εἰς ἡμῶν εὐφροσύνην· Δόξα σοι.




Στιχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστι.

Τὸ ξύλον τοῦ Σταυροῦ σου, Σωτὴρ ἡμῶν, τοῦ κόσμου ἀνεδείχθη σωτήριον· ἐν αὐτῷ γὰρ βουλήσει προσηλωθείς, τῆς κατάρας ἐρρύσω

τοὺς γηγενεῖς, ἡ πάντων ζωή. Κύριε δόξα σοι.




Δόξα... Καὶ νῦν... *Σταυροθεοτοκίον*

*Τὸν συνάναρχον Λόγον*

Ἐν Σταυρῷ σε ὁρῶσα Χριστὲ ἡ μήτηρ σου, ἑκουσίως ἐν μέσῳ λῃστῶν κρεμάμενον, κοπτομένη μητρικῶς, τὰ σπλάγχνα ἔλεγεν· Ἀναμάρτητε Υἱέ, πῶς ἀδίκως ἐν Σταυρῷ, ὡς κακοῦργος ἐπάγης; τὸ γένος τὸ τῶν ἀνθρώπων, ζωῶσαι θέλων ὡς ὑπεράγαθος.

*Μετὰ τὴν β΄ Στιχολογίαν*

*Καθίσματα Σταυρώσιμα*

*Τὸν συνάναρχον Λόγον*

Τὸν σταυρωθέντα Σωτῆρα καὶ λυτρωτὴν ἡμῶν, ἑκουσίως ὡς οἶδε καὶ ὡς ηὐδόκησεν, ἀνυμνήσωμεν πιστοὶ καὶ προσκυνήσωμεν, ὅτι προσήλωσε Σταυρῷ, τὰς ἁμαρτίας τῶν βροτῶν, ῥυσάμενος ἐκ τῆς πλάνης, τὸ γένος τὸ τῶν ἀνθρώπων, καὶ Βασιλείας κατηξίωσεν.

Στιχ. Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.

Ὁ Σταυρὸν ὑπομείνας σοῦ ἑκουσίᾳ βουλῇ, καὶ φθορᾶς τοὺς ἀνθρώπους ἐλευθερώσας Σωτήρ, ἀνυμνοῦμεν οἱ πιστοὶ καὶ προσκυνοῦμέν σε, ὅτι ἐφώτισας ἡμᾶς, τῇ δυνάμει τοῦ Σταυροῦ, καὶ φόβῳ δοξάζομέν σε, φιλάνθρωπε καὶ οἰκτίρμον, ὡς ζωοδότην καὶ Κύριον.

Δόξα... Καὶ νῦν... Θεοτοκίον ὅμοιον

Τῷ Σταυρῷ τοῦ Υἱοῦ σου θεοχαρίτωτε, τῶν εἰδώλων ἡ πλάνη πᾶσα κατήργηται, καὶ τῶν δαιμόνων ἡ ἰσχὺς καταπεπάτηται· διὰ τοῦτο οἱ πιστοί, κατὰ χρέος σε ἀεί, ὑμνοῦμεν καὶ εὐλογοῦμεν, καὶ Θεοτόκον κυρίως, ὁμολογοῦντες μεγαλύνομεν.

Μετὰ τὴν γ΄ Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Τὸν συνάναρχον Λόγον

Προφητῶν αἱ προρρήσεις ἰδοὺ πεπλήρωνται, ἡ ἀρχαία βουλή σου τὸ πέρας εἴληφε· σὺ γὰρ ἑκὼν Παμβασιλεῦ, σαρκὶ ἐπτώχευσας Χριστέ, καὶ κατεδέξω δι᾽ ἡμᾶς, ἀνελθεῖν ἐν τῷ Σταυρῷ, καὶ θάνατον ὑπομεῖναι· διὸ δοξάζομεν Λόγε, τὴν ὑπὲρ νοῦν σου συγκατάβασιν.

Μαρτυρικὸν

Στιχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Τὰ θαύματα τῶν ἁγίων σου Μαρτύρων, τεῖχος ἀκαταμάχητον, ἡμῖν δωρησάμενος, Χριστὲ ὁ Θεός, ταῖς αὐτῶν ἱκεσίαις, βουλὰς ἐθνῶν διασκέδασον, τῆς Βασιλείας τὰ σκῆπτρα κραταίωσον, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.






Δόξα... Καὶ νῦν... Θεοτοκίον

Τὸν συνάναρχον Λόγον

Μεμυκότα σε κόρας, Υἱὲ παμφίλτατε, ὀφθαλμοῖς καθορώσης, τὸ φῶς μου σβέννυται· οὐδὲ γὰρ ἥλιον ὁρᾷν ὅλως ἀνέχομαι, ἤθελον Λόγε τοὺς ἐμούς, ἐξορυχθῆναι ὀφθαλμούς, σκοτίσθητι φῶς ἡλίου· ὁ γὰρ δούς σοι τὸ φῶς ἐν λόγῳ, ἐν τῷ Σταυρῷ τὰς κόρας ἔμυσε.

Ὁ Ν΄ ψαλμός χύμα.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Ὠδὴ α΄.
Ἦχος πλ. α΄
Ὁ Εἱρμὸς

Ἵππον καὶ ἀναβάτην, εἰς θάλασσαν ἐρυθράν, ὁ συντρίβων πολέμους, ἐν ὑψηλῷ βραχίονι, Χριστὸς ἐξετίναξεν, Ἰσραὴλ δὲ ἔσωσεν, ἐπινίκιον, ὕμνον ᾄδοντα.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τὸν ἀκαταληψίᾳ κατανοούμενον, σαρκωθέντα, καὶ κόσμῳ ἐμφανισθέντα σώματι, ξύλῳ ἀπῃώρησε, βουληθέντα πάλαι, Ἑβραίων δῆμος παρανομώτατος.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὅτε τὴν καρποφόρον, Χριστέ σε ἄμπελον, ἐπὶ ξύλου Ἑβραῖοι, Σταυροῦ μανέντες ὕψωσαν, τότε οἶνον ἔσταξας, εὐφροσύνης ἅπασαν, μέθην Λόγε κακῶν ἐξαίροντα.

Σταυροθεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὅτε τὸν ἐκ γαστρός σου, τεχθέντα Κύριον, κατενόησας ξύλῳ ἀδίκως ἀνυψούμενον, Παρθένε ἐδάκρυσας, καὶ τούτου ὕμνησας ὄντως, τὴν ἄπειρον συγκατάβασιν.

Κανὼν τῆς Ὑπεραγίας Θεοτόκου.
Ὠδὴ α΄. Ὁ Εἱρμὸς
«Ἵππον καὶ ἀναβάτην,

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Πύλη τῆς θείας δόξης ἡ διανοίξασα, Παραδείσου τὴν πύλην, τῆς μετανοίας πύλας μοι, διάνοιξον δέομαι, καὶ τὸν νοῦν μου φώτισον, τοῦ ὑμνεῖν σε θεοχαρίτωτε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἔστησας τοῦ θανάτου τὴν ῥύμην, τέξασα τὸν ζωῆς, καὶ θανάτου δεσπόζοντα Πανάμωμε, αὐτὸν οὖν ἱκέτευε, τὰ νεκροῦντα πταίσματα, τὴν ψυχήν μου στῆσαι, καὶ σῶσαί με.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Μόνην ἐκ γενεῶν σε, τὴν καλλονὴν Ἰακώβ, ἐξελέξατο Λόγος, ὁ τῷ Πατρὶ συνάναρχος, καὶ σοῦ σεσωμάτωται, ἐξ αἱμάτων Δέσποινα, διασῴζων με μεσιτείαις σου.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Πόκος καθάπερ ὄμβρον τὸν ἐπουράνιον, ἐπὶ σὲ κατελθόντα, κατεδέξω Πάναγνε· διὸ τὰ ὀμβρήματα, τῶν παθῶν μου ξήρανον, ἱκετεύω σε Μητροπάρθενε.

Κανὼν τοῦ Μηναίου
ᾨδὴ α΄
Ἦχος β΄
Δεῦτε λαοί, ᾄσωμεν

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Τοὺς ἀριθμῷ, λάμποντας τιμίους λίθους ἑπτά, δεῦτε πιστῶς τιμήσωμεν, ὅτι πυρσεύουσι τὴν Χριστοῦ Ἐκκλησίαν, τῆς ἑπταφώτου κρεῖττον λυχνίας τῆς νομικῆς.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Οἱ τῆς σαρκός, πρότερον νεκρώσει ζῶντες Χριστῷ, Παῖδες ἑπτὰ ἀνέθορον, ὡς ὕπνον θάνατον, παραδόξως λαβόντες, κρατύνοντες τὸ δόγμα τῆς Ἀναστάσεως.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Ἱεριχώ, πέπτωκε βοῇ σαλπίγγων ἑπτά, ἡ δὲ τῆς πλάνης ἔπαρσις, τῇ ἑπταφώτῳ νῦν, πίστει τῶν Ἀθλοφόρων, κατῆλθεν ἕως Ἅδου καὶ διαλέλυται.

Δόξα...

Στέφος διπλοῦν, Ἅγιοι Παῖδες ἑπτὰ ἀληθῶς, ἐδέξασθε πορθήσαντες, πλάνην καὶ ἄρνησιν, τῆς ἐγέρσεως πάντων, τὴν μὲν πρὸ τοῦ θανάτου, τὴν δὲ ἐγέρσει ὑμῶν.

Καὶ νῦν... *Θεοτοκίον*

Καινοπρεπῆ, τόκον καινίζεις Ἀνύμφευτε· ὁ γὰρ Πατρὶ συνάναρχος ἐν θείῳ Πνεύματι, συναΐδιος Λόγος, ἐκ σοῦ ἐσωματώθη, χωρὶς τροπῆς καὶ φυρμοῦ.

## Ὠδὴ γ΄
## Ἦχος πλ.α΄.
## Ὁ Εἱρμὸς.

Ὁ πήξας ἐπ΄ οὐδενός, τὴν γῆν τῇ προστάξει σου, καὶ μετεωρίσας ἀσχέτως βρίθουσαν, ἐπὶ τὴν ἀσάλευτον Χριστέ, πέτραν τῶν ἐντολῶν σου, τὴν Ἐκκλησίαν σου στερέωσον, μόνε ἀγαθὲ καὶ φιλάνθρωπε.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Σταυροῦσαι, καὶ παράδεισος πάλιν ἀνοίγεται, καὶ Ληστὴς πρὸ πάντων χαίρων εἰσέρχεται, θνῄσκεις Ἰησοῦ μου, καὶ ἐχθρὸς ὁ πλάνος θανατοῦται, ὁ νεκρωθεὶς Ἀδάμ ζωοῦται δέ. Δόξα τῇ πολλῇ εὐσπλαγχνίᾳ σου.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Μαραίνεις τῆς ἁμαρτίας, φλόγα σταυρούμενος, Ἰησοῦ ἐν ξύλῳ δι΄ ἀγαθότητα, λύεις τὴν ἀπάτην δεσμευθείς, γυμνούμενος ἐνδύεις, καταστολὴν δόξης τὸν ἄνθρωπον. Δόξα τῇ πολλῇ εὐσπλαγχνίᾳ σου.

Σταυροθεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὑμνοῦσιν Ἀγγελικοί, χοροί σε Πανύμνητε, ἀσυγκρίτως τούτους τὴν ὑπερέχουσαν· τέτοκας Θεὸν γὰρ ἐν σαρκί, τὸν ξύλῳ τὴν κατάραν, τὴν ἐκ τοῦ ξύλου ἀφανίσαντα, καὶ τὴν εὐλογίαν πηγάσαντα.

Ὠδὴ γ΄
Κανὼν τῆς Θεοτόκου
Ἦχος πλ.α΄.
Εἱρμὸς ὁ αὐτὸς
Ὁ πήξας ἐπ' οὐδενός,

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τῷ βέλει τῆς ἁμαρτίας, τραυματισθέντα με, τῷ ἐν σοὶ φαρμάκῳ ὅλον ὑγείωσον, καὶ τῆς συνεχούσης με Ἁγνή, ἀπάλλαξον ὀδύνης, τῶν ὀδυνῶν ἡ ἀπαλλάξασα, γένος τῶν ἀνθρώπων τῷ τόκῳ σου.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Οἱ μάτην τὴν ταπεινήν, καρδίαν μου θλίβοντες, καὶ ἐπιζητοῦντες τοῦ θανατῶσαί με, Δέσποινα ἀόρατοι ἐχθροί, τῇ σῇ καταβληθέντες, ἐπιστασίᾳ διαμένουσιν, ἄπρακτοι, αἰσχύνης πληρούμενοι.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ναμάτων ζωοποιῶν με, πλήρωσον Δέσποινα, ἡ τὸ θεῖον ὕδωρ κόσμῳ πηγάσασα, τῶν ἀνομιῶν μου τοὺς δεινούς, ξηράνασα χειμάρρους, καὶ τῆς καρδίας μου τὰ κύματα, θείᾳ σου γαλήνῃ πραΰνουσα.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Παρῆλθον τὰ σκιωδῶς, τῷ νόμῳ τελούμενα· τὸν γὰρ νομοδότην Χριστὸν ἐκύησας, χάριν ἱλασμὸν καὶ φωτισμόν, ἡμῖν νομοθετοῦντα, καὶ τῆς κατάρας ἐξαιρούμενον, ἄχραντε Παρθένε πανύμνητε.

Ἕτερος Κανών, Ὠδὴ γ΄, τῶν Ἁγίων
Ἦχος β΄. Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Ἀστέρες ἀπλανεῖς ἑπτὰ ὤφθητε, τῇ πίστει ἀστράπτοντες, Ἀθλοφόροι, καὶ τοὺς πλάνης νηχομένους βυθῷ, πρὸς λιμένα σωτήριον ἰθύνατε.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Πρὸ βήματος στερρῶς ἑστῶτες Ἅγιοι, τυράννου ὡς πάλαι οἱ Μακκαβαῖοι, τῆς στρατείας διημείψατε, τὴν ἐπίκηρον δόξαν στρατευθέντες Χριστῷ.

Δόξα...

Ἀξίως τῷ Χριστῷ δεκτὴ ἐδείχθητε, θυσία προσευχῆς Ἅγιοι Παῖδες, καὶ ὀσμὴ πανευωδέστατος, τὸ δυσῶδες ἐλέγχοντες τῆς πλάνης στερρῶς.

Καὶ νῦν... Θεοτοκίον

Ἡ βάτος ἐν Σινᾷ προδιετύπωσε, Παρθένε τὸ παράδοξον τοῦ σοῦ τόκου· τὸ γὰρ πῦρ τὸ τῆς Θεότητος, οὐκ ἐφλέχθης ἐν μήτρᾳ δεξαμένη πιστῶς.

## Ὠδὴ γ΄, τοῦ Μηναίου

### Ὁ Εἱρμὸς .

### Ἦχος β΄

**Σ**τερέωσον ἡμᾶς ἐν Σοὶ Κύριε, ὁ ξύλῳ νεκρώσας τὴν ἁμαρτίαν, καὶ τὸν φόβον σου ἐμφύτευσον, εἰς τὰς καρδίας ἡμῶν τῶν ὑμνούντων σε.

### Ἦχος β᾽



Κάθισμα Ἦχος δ΄
Ὁ ὑψωθεὶς

Οἱ τὰ τοῦ κόσμου ὡς φθαρτὰ παριδόντες, καὶ τὰς ἀφθάρτους δωρεὰς εἰληφότες, ἀποθανόντες ἔμειναν ἐκτὸς καταφθορᾶς· ὅθεν ἐξανίστανται, μετὰ πλείονας χρόνους, ἅπασαν ἐνθάπτοντες, δυσμενῶν ἀπιστίαν, οὓς ἐν αἰνέσει σήμερον πιστοί, ἀνευφημοῦντες Χριστὸν ἀνυμνήσωμεν.

Δόξα... Καὶ νῦν... Σταυροθεοτοκίον

Τὸν ἐξ ἀνάρχου τοῦ Πατρὸς γεννηθέντα, ἡ ἐπ΄ ἐσχάτων σε σαρκὶ τετοκυῖα, ἐπὶ Σταυροῦ κρεμάμενον ὁρῶσα Χριστέ, Οἴμοι! ποθεινότατε, Ἰησοῦ ἀνεβόα· πῶς ὁ δοξαζόμενος ὡς Θεὸς ὑπ΄ Ἀγγέλων, ὑπὸ ἀνόμων νῦν βροτῶν Υἱέ, θέλων σταυροῦσαι; Ὑμνῶ σε μακρόθυμε.

Ὠδὴ στ΄, τοῦ Μηναίου
Ἦχος β΄
Ἐν ἀβύσσῳ πταισμάτων

Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος, τὴν ἀνεξιχνίαστον τῆς εὐσπλαγχνίας σου, ἐπικαλοῦμαι ἄβυσσον· Ἐκ φθορᾶς ὁ Θεὸς με ἀνάγαγε.

Ἦχος Πα

Ἐν α βυ σω πται σμα α των κυ κλου με
νος την α νε ξι χνι α στον της ευ σπλαγ
χνι ας σου ε πι κα λου μαι α βυσ σον εκ
φθο ρας ο Θε ο ος με α α να γα γε ε ε

## Κοντάκιον

### Τῇ Τετάρτῃ τοῦ Σταυροῦ Ἦχος δ´

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός, εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων, τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

## Σ Υ Ν Α Ξ Α Ρ Ι Ο Ν

Τῇ Δ´ τοῦ αὐτοῦ μηνός, μνήμη τῶν Ἁγίων ἑπτὰ Παίδων τῶν ἐν Ἐφέσῳ, Μαξιμιλιανοῦ, Ἑκουστωδιανοῦ, Ἰαμβλίχου, Μαρτινιανοῦ, Διονυσίου, Ἰωάννου καὶ Κωνσταντίνου.

### Στίχοι

Τὸν ἑπτάριθμον τιμῶ χορὸν Μαρτύρων,
Δείξαντα Ἀνάστασιν νεκρῶν τῷ κόσμῳ
Τῇ δὲ τετάρτῃ νεκροέγερτοι ξύνθανον ἑπτά.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἀνακομιδῆς τῶν λειψάνων τῆς ὁσίας μητρὸς ἡμῶν καὶ Μάρτυρος Εὐδοκίας.

### Στίχοι

Ὀσμὴ! τὶ τοῦτο; Σῶμα τῆς Εὐδοκίας,
Ἀθλητικῶν ἀπόζον ἥκει χαρίτων.

Πότνια Εὐδοκίη, νεκρὰ ἤχθη ἀμφὶ τετάρτην.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Μάρτυς Θαθουήλ, ἐν μηλέᾳ κρεμασθεὶς τελειοῦται.

Στίχοι

Θνῆσκε κρεμασθείς, Θαθουήλ, ἐν μηλέᾳ,
Ὡς ἂν τρυγήσῃς τῆς Ἐδὲμ μῆλα ξένα.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς Ἁγίας Μάρτυρος Ἴας καὶ τῶν σὺν αὐτῇ.

Στίχοι

Ὀσμὴν ἴων ἔπνευσεν ἡ Μάρτυς Ἴα,
Ἐρυθροβαφῶν αἱμάτων ἀτμοπνόων.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

*Ὠδὴ η΄, τοῦ μηναίου*

*Ἦχος β΄*

Ὁ Εἱρμὸς

Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον,

Τὸν ἐν καμίνῳ τοῦ πυρός, τῶν Ἑβραίων τοῖς παισὶ συγκαταβάντα, καὶ τὴν φλόγα εἰς δρόσον, μεταβαλόντα Θεόν, ὑμνεῖτε τὰ ἔργα ὡς Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἦχος Πα

Στίχ. Αἰ νου μεν ευ λο γου μεν και προ σκυ νου ου μεν το ον Κυ ρι ον

Ἦχος Πα

Τον εν κα μι νω του πυ ρος των Ε βραι ων τοις Παι σι συ γκα τα βαν τα και την φλο γα εις δρο σον με τα βα λο ο ον τα Θε ον υ μνει τε τα ε ερ γα τον Κυ ρι ον και υ πε ρυ ψου τε εις πα ντας τους αι ω ω να α ας

Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ φωτὸς...

## 04-08-2021 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΗΧΟΣ ΠΛ. Α'

### Τιμιωτέρα εἰς ἦχο β'

Ἦχος Β' Πα




α πο του νυν μα κα ρι ου σι με πα α σαι
αι γε νε αι
Την Τι μι ω τε ραν των Χε ρου βειμ
και εν δο ξο τε ραν α συγ κρι ι τως των Σε
ρα φειμ την α δι α φθο ρως Θε ον Λο γο
ον τε κου σαν την ον τως Θε ο το κον
σε ε με γα λυ νο μεν
Ο τι ε ποι η σε μοι με γα λει
α ο δυ να τος και α γι ον το ο νο
μα αυ του και το ε λε ος αυ του εις γε
νε αν και γε νε αν τοις φο βου με νοις αυ τον


Την Τι μι ω τε ραν των Χε ρου βειμ
και εν δο ξο τε ραν α συγ κρι ι τως των Σε
ρα φειμ την α δι α φθο ρως Θε ον Λο γο
ον τε κου σαν την ον τως Θε ο το κον
σε ε με γα λυ νο μεν
Ε ποι η σε κρα τος εν βρα χι ο
νι αυ του δι ε σκορ πι σεν υ πε ρη
φα νους δι α νοι α καρ δι ας αυ των
Την Τι μι ω τε ραν των Χε ρου βειμ
και εν δο ξο τε ραν α συγ κρι ι τως των Σε
ρα φειμ την α δι α φθο ρως Θε ον Λο γο


ον τε κου σαν την ον τως Θε ο το κον
σε ε με γα λυ νο μεν
Κα θει λε δυ να στας α πο θρο νων
και υ ψω σε τα πει νου ους πει νων τας
ε νε πλη σεν α γα θων και πλου τουν τας ε
ξα πε στει λε κε νους
Την Τι μι ω τε ραν των Χε ρου βειμ
και εν δο ξο τε ραν α συγ κρι ι τως των Σε
ρα φειμ την α δι α φθο ρως Θε ον Λο γο
ον τε κου σαν την ον τως Θε ο το κον
σε ε με γα λυ νο μεν


Ἂν τε λα βε το Ισ ρα ηλ παι δος
αυ του μνη σθη ναι ε λε ους κα θως ε
λα λη σε προς τους πα τε ρας η μων τω
Α βρα αμ και τω σπερ μα τι αυ του ε ως αι
ω ω νος
Την Τι μι ω τε ραν των Χε ρου βειμ
και εν δο ξο τε ραν α συγ κρι ι τως των Σε
ρα φειμ την α δι α φθο ρως Θε ον Λο γο
ον τε κου σαν την ον τως Θε ο το κον
σε ε με γα λυ νο μεν

## Εἶτα ψάλλεται
## ἡ θ΄ ᾠδή τοῦ Μηναίου
## Ἦχος β΄
## Ὁ Εἱρμὸς

Ἡ τὸν πρὸ ἡλίου φωστῆρα, τὸν Θεὸν ἐξανατείλαντα, σωματικῶς ἡμῖν ἐπιδημήσαντα, ἐκ λαγόνων παρθενικῶν, ἀφράστως σωματώσασα, εὐλογημένη πάναγνε, σὲ Θεοτόκε μεγαλύνομεν.

Ἦχος Πα




Ἦχος Πα
Ἄ ξι ον ε στιν ως α λη θως μα κα
ρι ζειν σε την Θε ο το κον την α ει μα
κα ρι στον και πα να μω μη τον και μη τε
ρα του Θε ου η μων την τι μι ω τε ραν
των Χε ρου βιμ και εν δο κο τε ραν α συγ
κρι ι τως ως των Σε ρα φιμ την α δι α φθο
3
ο ρως Θε ον Λο γο ον τε κου σαν την ον τως Θε
ο το κον σε ε με γα λυ νο με ε εν

## Ἐξαποστειλάριον
### Ἦχος β΄
### Τοῖς μαθηταῖς συνέλθωμεν

Τυραννικοῦ πρὸ βήματος τὸν Χριστὸν παρρησίᾳ, Παῖδες ἑπτὰ καὶ Μάρτυρες, ἐκηρύξατε πάντων, Θεὸν Σωτῆρα καὶ Κτίστην· ὑμεῖς γὰρ θείᾳ προνοίᾳ, σπηλαίῳ χρόνοις πλείοσι, κατὰ φύσιν θανόντες, ὑπερφυῶς, αὖθις ἐξανίστασθε ὡς ἐξ ὕπνου, αἱρετικῶν τὰ στόματα, ἀποφράττοντες πάντων.

## Θεοτοκίον
### Ἦχος β΄
### Τοῖς μαθηταῖς συνέλθωμεν

Σὺν Ἰαμβλίχῳ μέλψωμεν, Ἰωάννην, Μαρτῖνον καὶ Κωνσταντῖνον ᾄσμασι, Μαξιμιλιανόν τε καὶ Διονύσιον ἅμα, κλεινῷ Ἑξακουστωδίῳ, φαιδρῶς πανηγυρίζοντες, τὴν φαιδράν τούτων μνήμην, ὅπως εὐχαῖς τούτων καὶ πρεσβείαις τῆς Θεοτόκου, πταισμάτων λύσιν εὕρωμεν, πρὸς Χριστοῦ τοῦ Σωτῆρος.

## ΑΙΝΟΙ

## ΨΑΛΜΟΣ ΡΜΗ΄ (148)

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ.

Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ τῆς γῆς.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοὶς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

## ΨΑΛΜΟΣ ΡΜΘ΄ (149)

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ Ὁσίων.

Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ , ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

Καυχὴσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.

Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον, δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

## ΨΑΛΜΟΣ ΡΝ΄ (150)

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ .

Αἰνεῖτε Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλλαλαγμοῦ, Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Δόξα... Καὶ νῦν...

Ὁ προεστώς:

Σοὶ δόξα πρέπει, Κύριε, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἀναγνώστης χῦμα τό:

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμεν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε Βασιλεῦ, ἐπουράνιε Θεέ, πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ Υἱός τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾿ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα. Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς. ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾿ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος:

Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα των ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί

τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ Κύριε.

Ὅτι Θεός ἐλέους, οἰκτιρμῶν, καὶ

φιλανθρωπίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αιῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Ὁ Ἱερεύς: Εἰρήνη πᾶσι.

Ὁ χορός: Καὶ τῷ πνεύματί σου.

ὁ διάκονος: Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός: Σοί, Κύριε.

Ὁ Ἱερεύς: Τὴν εὐχὴν τῆς κεφαλοκλισίας......

Ὁ Ἱερεύς: Σὸν γὰρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Καὶ ἀρχόμεθα ψάλλειν τὰ Ἀπόστιχα τῶν Αἴνων.

Σταυρώσιμα

# 04-08-2021 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΗΧΟΣ ΠΛ. Α΄

## Ἀπόστιχα τῶν Αἴνων, Σταυρώσιμα

### Ἦχος πλ. α΄ Πα

**Κ**ύριε, ἐπὶ Μωϋσέως ποτὲ τοῦ Προφήτου, μόνον ὁ τύπος τοῦ Σταυροῦ σου δεικνύμενος, ἐνίκα τοὺς ἐχθρούς σου, νῦν δὲ αὐτὸν τὸν Σταυρόν σου κατέχοντες, βοήθειαν αἰτοῦμεν, κράτυνον τὴν Ἐκκλησίαν σου, καὶ δώρησαι τοῖς Βασιλεῦσιν ἡμῶν, ὡς Κωνσταντίνῳ τὸ τρόπαιον, διὰ πλῆθος ἐλέους φιλάνθρωπε.



ον νʹ δι α πλη η θος ε λε ε ους Φι λαν

θρω ω πε χ

**Στίχ. αʹ.** Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα καὶ ηὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν. Εὐφρανθείημεν, ἀνθ᾿ ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν, ὧν εἴδομεν κακά, καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.

Ὁ Σταυρός σου Χριστέ, καὶ τοῦ ᾌδου κατήργησε τὸ κράτος, καὶ τὸ γένος διέσωσε τῶν ἀνθρώπων, καὶ ἐκ φθορᾶς τὸν κόσμον ῥυσάμενος, τῷ Ληστῇ τὸν Παράδεισον ἤνοιξεν, ὃν προσκυνοῦντες, δοξάζομέν σε Σωτήρ, ἐλέησον ἡμᾶς.

χ Ο Σταυ ρος σου Χρι στε και του Α αδου

κα τηρ γη σε το κρα α τος νʹ και το γε νος δι ε

ε σω σε των αν θρω πων χ και εκ φθο ρας τον




Μαρτυρικὸν

Στίχ. β΄. **Κ**αὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ΄ ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ΄ ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

**Ο**ἱ Ἀθλοφόροι σου Κύριε, τὰς τάξεις τῶν ἀγγέλων μιμησάμενοι, ὡς ἀσώματοι ταῖς βασάνοις ἐνεκαρτέρησαν, μονολόγιστον ἐλπίδα ἔχοντες, τῶν ἐπηγγελμένων ἀγαθῶν τὴν ἀπόλαυσιν· ταῖς πρεσβείαις αὐτῶν, Χριστὲ ὁ Θεὸς ἡμῶν, τὴν εἰρήνην δώρησαι τῷ κόσμῳ σου, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.



σω μα τοι ταις βα σα α νοις ε νε καρ τε

ρη σαν χ μο νο λο γι στον ελ πι δα ε χο

ον τες των ε πηγ γελ με νων α γα θων την α

πο λαυ σιν χ ταις αυ των πρε σβει ει αις Χρι στε ε ο

Θε ος η μων την ει ρη νην δω ρη σαι τω κο

σμω ω σου και ταις ψυ χαις η μων το με γα ε

λε ος χ

**Δόξα... Καὶ νῦν...** *Σταυροθεοτοκίον*

Ὡς ἀμνόν σε Λόγε, ἡ Ἀμνὰς καὶ Παρθένος, πρὸς σφαγὴν χωροῦντα, καθορῶσα ἐβόα· Ὢ ξένου τολμήματος! πῶς ἄνομοι σφάττουσι τὸν τοὺς ἀνθρώπους ζωοῦντα; Μέγα σου Υἱέ μου τὸ ἔλεος!

χ Ὡς α μνον σε Λο ο γε η Α μνα ας και Παρ

θε νος προς σφα γην χω ρουν τα κα θο ρω ω σα

ε βο α ω ξε νου τολ μη μα α τος πως α α

α νο μοι σφατ του σι τον τους αν θρω ω

πους ζω ουν τα με γα σου Υι ε ε μου το ε

λε ο ο ο ος

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου Ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (ἐκ γ΄)

Δόξα... Καὶ νῦν ...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα... Καὶ νῦν ...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ἱερεύς: Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

## Ἀπολυτίκιον τοῦ Σταυροῦ

Ἦχος Πα



Τῇ Τετάρτῃ
Εἰς τὸ τέλος τοῦ Ὄρθρου,
Ἦχος α΄.

**Δ**όξα... **Κ**αὶ νῦν...

**Ἄ**χραντε Θεοτόκε, ἡ ἐν οὐρανοῖς εὐλογημένη, καὶ ἐπὶ γῆς δοξολογουμένη, χαῖρε Νύμφη ἀνύμφευτε.

**Δ**όξα... **Κ**αὶ νῦν...

Θεοτοκίον εἰς τὸ τέλος τοῦ Ὄρθρου.



# 04-08-2021 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΗΧΟΣ ΠΛ. Α΄

## Εἰς τὴν Θείαν Λειτουργίαν

## ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ

Ἦχος πλ. α΄ Νη




## ΕΤΕΡΑ




4. Κυ ρι ε ε ε λε η σο ο ο ον
5. Κυ ρι ε ε λε ε η σον
6. Κυ ρι ε ε λε ε ε η σον
7. Κυ ρι ε ε λε η σον
8. Κυ ρι ε ε λε η σον
9. Κυ ρι ε ε λε η σον
10. Κυ ρι ε ε λε ε η σον
11. Κυ ρι ε ε λε ε ε η σον
12. Σοι Κυ ρι ε

## 04-08-2021 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΗΧΟΣ ΠΛ. Α΄

Ἀντίφωνο Α΄

Ἦχος Δι



τερ σω σον η μας

Στιχ. γ΄ Ο τι ευ φρα νας με Κυ ρι ε εν τοις ποι η μα σι σου και εν τοις ερ γοις των χει ρων σου α γαλ λι α σο μαι

Ταις πρε σβει αις της Θε ο το κου Σω τερ σω σον η μας

Στιχ. δ΄ Ο τι ευ θυς Κυ ρι ος ο Θε ος η μων και ουκ ε στιν α δι κι α εν αυ τω

Ταις πρε σβει αις της Θε ο το κου Σω τερ σω σον η μας

## Δόξα Πατρὶ...Καὶ νῦν...

Το τελευταίον. Ταις πρε σβει αις της Θε ο το ο κου Σω τερ σω σον η μα α ας

### Ἀντίφωνο Β΄

Ἦχος Δι

Α μη ην

Σπχ. α΄ Ο Κυ ρι ος ε βα σι λευ σεν ευ πρε πει αν ε νε δυ σα το ε νε δυ σα το Κυ ρι ος δυ να μιν και πε ρι ε ζω σα το

Πρε σβει αις των α γι ων σου σω σον η μας Κυ ρι ε


Σπχ. β′ Και γαρ ε στε ρε ω σε την
οι ου με νην η τις ου σα λευ θη σε
ται
Πρε σβει αις των α γι ων σου σω σον η
μας Κυ ρι ε
Σπχ. γ′ Θαυ μα στοι οι με τε ω ρι
σμοι της θα λασ σης θαυ μα στος εν υ ψη
λοις ο Κυ ρι ος
Πρε σβει αις των α γι ων σου σω σον η
μας Κυ ρι ε
Σπχ. δ′ Τα μαρ τυ ρι α σου ε πι


στω θη σαν σφο δρα τω οι κω σου πρε πει
α γι α σμα Κυ ρι ε εις μα κρο τη
τα η με ρων
Πρε σβει αις των α γι ων σου σω σον η
μας Κυ ρι ε
Δο ξα Πα τρι και Υι ω και Α γι
ω Πνευ μα τι
Και νυν και α ει και εις τους αι ω νας
των αι αι ω νων Α μην
Ο μο νο γε νης Υι ος και Λο γος
του Θε ου α θα να τος υ πα α α αρ χων


και κα τα δε ξα με νος δι α την η
με τε ραν σω τη ρι ι αν σαρ κω θη
ναι εκ της Α γι ας Θε ο το κου και α
ει παρ θε νου Μα ρι ας α τρε ε πτως ε
αν θρω πη σας σταυ ρω θεις τε Χρι στε ο Θε
ος θα να α τω ω θα να τον πα τη σας ει
εις ων της Α γι ας Τρι α δος συν δο ξα
ζο ο με νος τω Πα τρι και τω Α γι ω Πνευ
μα τι σω σον η μα α ας

## Ἀντίφωνο Γ'
### Ἦχος Δι

Στιχ. α' Δευ τε α γαλ λι α σω με θα
τω Κυ ρι ω α λα λα ξω μεν τω Θε ω
τω Σω τη ρι η μων

Σω σον η μας Υι ε Θε ου ο
εν Α γι οις θαυ μα στος ψαλ λον τας Σοι
αλ λη λου ι α

Στιχ. β' Προ φθα σω μεν το προ σω πον αυ
του εν ε ξο μο λο γη σει και εν ψαλ
μοις α λα λα ξω μεν αυ τω

Σω σον η μας Υι ε Θε ου ο

εν Α γι οις θαυ μα στος ψαλ λον τας Σοι

αλ λη λου ι α

Στιχ. γ' Ο τι Θε ος με γας Κυ ρι ος

και βα σι λευς με γας ε πι πα σαν την

γην

Σω σον η μας Υι ε Θε ου ο εν

Α γι οις θαυ μα στος ψαλ λον τας Σοι αλ λη

λου ι α α α α

## Εἰσοδικό

Δευ τε προ σκυ νη σω μεν και προ σπε σω
μεν Χρι στω Σω σον η μα ας Υι ε Θε ου
ο εν Α γι οις θαυ μα στος ψαλ λον τας
Σοι αλ λη λου ι α

## Ἀπολυτίκιον

## Ἀπολυτίκιον τοῦ Σταυροῦ
Ἦχος Πα




## Ἀπολυτίκιον τοῦ Ναοῦ.
Ἦχος α΄

## Κοντάκιον τοῦ Σταυροῦ.

Ἦχος Δι

Ο υ ψω θει εις ε εν τω Σταυ ρω ε κου σι
ως τη ε πω νυ υ μω ω σου και νη πο λι τει
α τους οικ τιρ μους σου δω ρη σε Χρι στε ο
Θε ος ευ φρα νον εν τη δυ να μει σου
τους πι στους Βα σι λεις η μων νι κας χο ρη
γων αυ τοις κα τα των πο λε μι ων την συμ
μα χι αν ε χοι εν την σην ο πλον ει
ρη η νης α ητ τη τον τρο ο παι ο
ο ον

# ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ ΤΕΤΑΡΤΗ Ζ΄ ΕΒΔΟΜΑΔΟΣ

Προκείμενον. Ἦχος γ΄

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.

Πρὸς Κορινθίους Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα 7:12-24

Ἀδελφοί, εἴ τις ἀδελφὸς γυναῖκα ἔχει ἄπιστον, καὶ αὕτη συνευδοκεῖ οἰκεῖν μετ᾽ αὐτοῦ, μὴ ἀφιέτω αὐτήν· καὶ γυνὴ εἴ τις ἔχει ἄνδρα ἄπιστον, καὶ οὗτος συνευδοκεῖ οἰκεῖν μετ᾽ αὐτῆς, μὴ ἀφιέτω τὸν ἄνδρα. Ἡγίασται γὰρ ὁ ἀνὴρ ὁ ἄπιστος ἐν τῇ γυναικί, καὶ ἡγίασται ἡ γυνὴ ἡ ἄπιστος ἐν τῷ ἀδελφῷ· ἐπεὶ ἄρα τὰ τέκνα ὑμῶν ἀκάθαρτά ἐστιν, νῦν δὲ ἅγιά ἐστιν. Εἰ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω· οὐ δεδούλωται ὁ ἀδελφὸς ἢ ἡ ἀδελφὴ ἐν τοῖς τοιούτοις· ἐν δὲ εἰρήνῃ κέκληκεν ὑμᾶς ὁ Θεός. Τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; ἢ τί οἶδας, ἄνερ, εἰ τὴν γυναῖκα σώσεις; Εἰ μὴ ἑκάστῳ ὡς ἐμέρισεν ὁ Κύριος, ἕκαστον ὡς

κέκληκεν ὁ Θεός, οὕτως περιπατείτω· καὶ οὕτως ἐν ταῖς ἐκκλησίαις πάσαις διατάσσομαι. Περιτετμημένος τις ἐκλήθη; μὴ ἐπισπάσθω. ἐν ἀκροβυστίᾳ κέκληταί τις; μὴ περιτεμνέσθω. Ἡ περιτομὴ οὐδέν ἐστιν, καὶ ἡ ἀκροβυστία οὐδέν ἐστιν, ἀλλὰ τήρησις ἐντολῶν Θεοῦ. Ἕκαστος ἐν τῇ κλήσει ᾗ ἐκλήθη ἐν ταύτῃ μενέτω. Δοῦλος ἐκλήθης; μή σοι μελέτω· ἀλλ᾽ εἰ καὶ δύνασαι ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι. Ὁ γὰρ ἐν Κυρίῳ κληθεὶς δοῦλος ἀπελεύθερος Κυρίου ἐστίν· ὁμοίως ὁ ἐλεύθερος κληθεὶς δοῦλός ἐστιν Χριστοῦ. Τιμῆς ἠγοράσθητε· μὴ γίνεσθε δοῦλοι ἀνθρώπων. Ἕκαστος ἐν ᾧ ἐκλήθη, ἀδελφοί, ἐν τούτῳ μενέτω παρὰ Θεῷ.

Ἀλληλούϊα Ἦχος πλ. δ΄

Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου.

Στίχ. Ὤμοσε Κύριος τῷ Δαυῒδ ἀλήθειαν καὶ οὐ μὴ ἀθετήσει αὐτήν.


Ἦχος Πα
Κυ ρι ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Σοι Κυ ρι ε
Α μη η η η ην
Και τω πνευ μα τι ι ι ι ι σου
Σοι οι οι οι οι Κυ ρι ε
Ἕτερον.
Σοι Κυ ρι ε ε ε ε ε ε
Α α α μην

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,
ἁγιασθήτω τὸ ὄνομά σου,
ἐλθέτω ἡ βασιλεία σου,
γενηθήτω τὸ θέλημά σου,
ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.
Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον
δὸς ἡμῖν σήμερον,
καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,
ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν,
καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,
ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

## ΕΙΣ ΑΓΙΟΣ

Ἦχος Πα Ἐναρμόνιος




Ἦχος
Ει ει ει ει ει εις Α α α α
γι ι ι ος ει ει ει ει ει εις
Κυ υ υ υ υ ρι ι ι ος Ι η σους
Χρι ι στος εις δο ο ο ξαν Θε ου Πα τρος
Α α μην


Ἦχος Πα
α α νες Α α α φες Συγ
χω ω ρησον Ο Θε ε ε ος Τα Πα
ρα α πτω ω μα α τα Η μων Τα
Ε κου ου σι ι ι α τα α κου ου
ου σι ι ι α τα εν γνω ω ω σει και τα εν
α γνοι οι οι οι οι οι οι οι οι α τα α εν
νυ υ κτι και ε ε εν η η με ε ε ε
ρα τα κα τα νουν και δι α α νοι οι αν
τα πα αν τα η μιν συγ χω ω ω ρη σον
ως α γα θο ος και αι αι φι λα α α
α αν θρω ω ω πο ο ο ος

## Χριστέ το φῶς τό ἀληθινόν.

Ἦχος Πα

Χρι στε ε το φως το α λη θι νον το

φω τι ζον και α γι α α α α α α ζο

ον παν τα α αν θρω ω πον ερ χο ο ο με

νον ει εις το ον κο ο ο ο ο ο ο ο

σμον ση μει ω θη η τω ω ε εφ᾽ η η

μα ας το φω ω ως του ου προ ο σω ω ω

που ου ου ου σου ι να εν αυ τω ο ψω

ω με ε θα φως το ο α προ ο ο ο

ο σι ι ι τον και κα τε ευ θυ υ υ

υ νο ον τα δι α βη η μα τα α


η μω ω ων προς ερ γα σι ι ι αν τω
ω ω ων ε εν το ο ο λω ω ω ων σου
πρε σβει ει αις της πα να χρα αν του ου ου
σου ου Μη η η τρος και πα αν τω ων
σου ου των Α γι ω ω ων α μην

# 04-08-2021 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΗΧΟΣ ΠΛ. Α'

## Κοινωνικόν

Ἦχος Πα



μαι Αλ λη λου ου ου ι ι ι ι α

α α α

Στίχος. Τι αν τα πο δω σω τω Κυ ρι

ι ω ἅ πε ρι πα αν των ων αν τα πε δω κε

μει

Πο τη ρι ι ον σω τη ρι ι ου ου λη

η ψο ο ο μαι και το ο νο μα α Κυ

υ ρι ι ου ε πι κα λε ε ε σο ο ο ο

μαι Αλ λη λου ου ου ι ι ι ι α

α α α

Στίχος. Τας ευ χας μου τω Κυ ρι ω

α πο δω ω σω Δ ε ναν τι ον παν το ος

του λα ου α αυ του

Πο τη ρι ι ον σω τη ρι ι ου ου λη

η ψο ο ο μαι και το ο νο μα α Κυ

υ ρι ι ου ε πι κα λε ε ε σο ο ο ο

μαι Αλ λη λου ου ου ι ι ι ι α

α α α

Στίχος. Ω Κυ ρι ε ε γω δου λος σος ε

γω ω δου ου λος σος και υι ο ος της παι δι

σκη ης σου δι ερ ρη ξας τους δε σμους μου

Πο τη ρι ι ον σω τη ρι ι ου ου λη

η ψο ο ο μαι και το ο νο μα α Κυ

υ ρι ι ου ε πι κα λε ε ε σο ο ο ο

μαι Αλ λη λου ου ου ι ι ι ι α

α α α

Στίχος. Ε πι στρε ψον ψυ χη μου εις την

α να παυ σιν σου ο τι Κυ ρι ος ευ ηρ

γε τη σε σε

Πο τη ρι ι ον σω τη ρι ι ου ου λη

η ψο ο ο μαι και το ο νο μα α Κυ

υ ρι ι ου ε πι κα λε ε ε σο ο ο ο

μαι Αλ λη λου ου ου ι ι ι ι α


α α α
Στίχος. Ε λε η μων ο Κυ ρι ος και
δι και ος και ο Θε ος η μω ων ε λε
ει
Πο τη ρι ι ον σω τη ρι ι ου ου λη
η ψο ο ο μαι και το ο νο μα α Κυ
υ ρι ι ου ε πι κα λε ε ε σο ο ο ο
μαι Αλ λη λου ου ου ι ι ι ι α
α α α
Στίχος. Ευ α ρε στη σω ε νω πι ον Κυ
ρι ου εν χω ρα ζω ων των

Πο τη ρι ι ον σω τη ρι ι ου ου λη
η ψο ο ο μαι και το ο νο μα α Κυ
υ ρι ι ου ε πι κα λε ε ε σο ο ο ο
μαι Αλ λη λου ου ου ι ι ι ι α
α α α

Στίχος. Σοι θυσω θυ σι ι ι αν αι νε
σε ως και εν ο νο μα τι Κυ ρι ου ε πι κα
λε σο μαι

Πο τη ρι ι ον σω τη ρι ι ου ου λη
η ψο ο ο μαι και το ο νο μα α Κυ
υ ρι ι ου ε πι κα λε ε ε σο ο ο ο

μαι Αλ λη λου ου ου ι ι ι ι α
α α α

Στίχος. Τας ευ χας μου τω Κυ ρι ω α
πο δω σω ε ναν τι ον παν τος του λα ου
αυ του εν αυ λαις οι κου Κυ ρι ου εν
με ε σω σου Ι ε ρου σα λημ

Πο τη ρι ι ον σω τη ρι ι ου ου λη
η ψο ο ο μαι και το ο νο μα α Κυ
υ ρι ι ου ε πι κα λε ε ε σο ο ο ο
μαι Αλ λη λου ου ου ι ι ι ι α
α α α

## Εἴδομεν τὸ φῶς τό ἀληθινόν

Ἦχος Δι

Ει δο μεν το φως το α λη θι νον ε λα
βο με εν Πνευ μα ε πού ρα α νι ον ευ ρο μεν
πι στιν α λη θη α δι αι ρε τον Τρι
α δα προ σκυ νου ου ου ουν τες αυ τη γαρ
η η μας ε σω σε ε ε ε ε εν

## Εἰς τό· Πάντοτε, νῦν καὶ ἀεί…

Ἦχος Δι

Α μην α μην α μην εις α
φε σιν α μαρ τι ων και εις ζω ην την
αι ω ω νι ον

Πλη ρω θη τω το στο μα η μων


αι νε σε ως σου Κυ ρι ε ο πως υ μνη
σω μεν την δο ο ξαν σου ο τι η ξι ω
σας η μας των α γι ων σου με τα σχειν
μυ στη ρι ι ι ι ων τη ρη σον η μας
εν τω σω α γι α σμω ο λην την η
με ραν με λε ταν την δι και ο συ νην σου
Αλ λη λου ι α Αλ λη λου ι α Αλ λη
λου ου ι α α α

## Εἴη τό ὄνομα...

Ἦχος Δι




## Τόν Εὐλογοῦντα...




Ἦχος Βαρύς Ζω
Πα να γι ι α Δε
ε σποι να υ πο την σκε ε ε πην σου παν τες
οι δου ου λοι οι σου τρε ε χο μεν και πα ρα
α κα λου ου μεν σε ε ε οι οι α να α ξι οι
προ φθα σον και λυ τρω σε η μας α πο πα
σης πε ρι στα α σε ως και α πο θα α να τον τον
ε ξα α φνι κο ο ον και αι πα νο ο λε θρον
οι δα μεν ο ο τι δυ υ να σαι παν τα ο σα
αν θε ε ε λει εις και βου ου λε σαι Δε ε σποι
να α του κο ο ο σμου ελ πις και προ στα σι ι
α των πι στων Κε χα ρι τω με ε νη η ε


πα α κου σον των πα ρα α κα λου ουν των σε
ε ε ε ε ε ε ε ε ε

# 04-08-2021 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΗΧΟΣ ΠΛ. Α'

## Θεοτοκία εἰς ἦχον Βαρύν
## Μή καταπιστεύσεις με

Ἦχος Βαρύς Ζω




μυ θι ι ι αν ουκ ε χω πλη ην σου Δε ε
σποι να του κο ο ο σμου ελ πις και προ στα
σι ι α των πι στων μη μου πα ρι ι δης
την δε ε η σι ι ιν το ο συμ φε ε ρον ποι η η
σον

# 04-08-2021 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΗΧΟΣ ΠΛ. Α΄

## Μεταβολή τῶν θλιβομένων

### Ἦχος Βαρύς Ζω



Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελωδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.